## **Iliad, Book 1.188-244** (RR)

188 **ὥς φάτο· Πηλεΐωνι δ’ ἄχος γένετ’, ἐν δέ οἱ ἦτορ**
=Πηλειαδῃ | cf. ἄχνυμαι (ex. at 103) | pron. | τὸ ἦτορ, “heart” (nom!)

---

189 **στήθεσσιν λασίοισι διάνδιχα μερμήριξεν,**
λασίος, “shaggy” | “in 2 ways” (adv.) | μερμηρίζω, “ponder”

---

190 **ἢ ὅ γε φάσγανον ὀξὺ ἐρυσσάμενος παρὰ μηροῦ**
(take with ἠέ at 192) | =Achilles | cf. 141 | cf. 40

---

191 **τοὺς μὲν ἀναστήσειεν, ὃ δ’ Ἀτρεΐδην ἐναρίζοι,**
“force these men to rise” (i.e. the men in the assembly) | =Achilles | ἐναρίζω “slay”

---

192 **ἠὲ χόλον παύσειεν ἐρητύσειέ τε θυμόν.**
cf. 81, & χολόω 9, 78 | ἐρητύω, “hold back”

---

193 **ἧος ὃ ταῦθ’ ὥρμαινε κατὰ φρένα καὶ κατὰ θυμόν,**
=ἕως | =ταῦτα | ὁρμαίνω, “ponder”

---

194 **ἕλκετο δ’ ἐκ κολεοῖο μέγα ξίφος, ἦλθε δ’ Ἀθήνη**
ἕλκω, “drag, draw” | τό κολεόν (guess the meaning)

---

195 **οὐρανόθεν· πρὸ γὰρ ἧκε θεὰ λευκώλενος Ἥρη,**
οὐρανός + -θεν cf. 57 & § 155, 2 | forward (tmesis) | > ἵημι (sc. Ἀθήνην)

---

196 **ἄμφω ὁμῶς θυμῷ φιλέουσά τε κηδομένη τε.**
“both” (dual acc.) | “equally” | cf. 55

---

197 **στῆ δ’ ὄπιθεν, ξανθῆς δὲ κόμης ἕλε Πηλεΐωνα,**
“behind” cf. μετόπισθεν, 82 | ξανθός, η, ον “blond” | cf. 36 | what verb? cf. 137 | cf. 188

---

198 **οἴῳ φαινομένη· τῶν δ’ ἄλλων οὔ τις ὁρᾶτο·**
Not οἴῳ !

199 **θάμβησεν δ’ Ἀχιλεύς, μετὰ δ’ ἐτράπετ’· αὐτίκα δ’ ἔγνω**
θαμβέω, "be amazed" | μεταπρέπομαι, "turns o.s. around" | aor.3.sg what verb?

---

200 **Παλλάδ’ Ἀθηναίην — δεινὼ δέ οἱ ὄσσε φάανθεν—**
=Παλλάδα (acc.) | dual nom. (predicate) | case? | cf. 104 | aor.pass.3.pl.ind. >φαίνω

---

201 **καί μιν φωνήσας ἔπεα πτερόεντα προσηύδα·**
"her" | aor.part. >φωνέω cf. "phonetics" | neut.pl. what noun? | πτερόεις, εσσα, εν "winged" | =προσέφη

---

202 **"τίπτ’ αὖτ’, αἰγιόχοιο Διὸς τέκος, εἰλήλουθας;**
=τί ποτε (syncope) | αἰγίοχος, η, ον =αἰγίς (aegis) + ἔχω | cf. 36 (msc or fem) | > ἔρχομαι (perf.)

---

203 **ἦ ἵνα ὕβριν ἴδῃ Ἀγαμέμνονος Ἀτρεΐδαο;**
"or is it ..." | ἡ ὕβρις pronounce! | what verb? (contracted: usually Hom. ἴδεαι)

---

204 **ἀλλ’ ἔκ τοι ἐρέω, τὸ δὲ καὶ τελέεσθαι ὀΐω·**
tmesis = "out" | fut. cf. 76 | fut.

---

205 **ᾗς ὑπεροπλίῃσι τάχ’ ἄν ποτε θυμὸν ὀλέσσῃ."**
=ἑαίς >ἑός, cf §113 | αἱ ὑπεροπλίαι, "acts of violence" | =τάχα | >ὄλλυμι

---

206 **τὸν δ’ αὖτε προσέειπε θεὰ γλαυκῶπις Ἀθήνη·**
"in turn" (adv.) | "bright-eyed"

---

207 **"ἦλθον ἐγὼ παύσουσα τὸ σὸν μένος, αἴ κε πίθηαι,**
why future? | cf. 103 | >πείθω

---

208 **οὐρανόθεν· πρὸ δέ μ’ ἧκε θεὰ λευκώλενος Ἥρη**
cf. 195...

---

209 **ἄμφω ὁμῶς θυμῷ φιλέουσά τε κηδομένη τε.**
cf. 196....

---

210 **ἀλλ’ ἄγε λῆγ’ ἔριδος, μηδὲ ξίφος ἕλκεο χειρί·**
λήγω, stop (from) (+gen.) | cf. 8, 177 | cf. 194... | what dative?

211 **ἀλλ’ ἤ τοι ἔπεσιν μὲν ὀνείδισον, ὡς ἔσεταί περ.**
cf. 77, ὀνειδίζω, “how” =Attic ἔσται
150 “reproach, threaten” (cf. 212!)

---

212 **ὧδε γὰρ ἐξερέω, τὸ δὲ καὶ τετελεσμένον ἔσται·**
cf. 181 cf. 204....

---

213 **καί ποτέ τοι τρὶς τόσσα παρέσσεται ἀγλαὰ δῶρα**
cf. 64 =παρέσται, “be cf. 23,
alongside, be present” 111

---

214 **ὕβριος εἵνεκα τῆσδε· σὺ δ’ ἴσχεο, πείθεο δ’ ἡμῖν.”**
cf. 203 =ἕνεκα imper. mid.
cf. 174 >ἴσχω, restrain o.s.

---

215 **τὴν δ’ ἀπαμειβόμενος προσέφη πόδας ὠκὺς Ἀχιλλεύς·**
cf. 84, 130...

---

216 **“χρὴ μὲν σφωΐτερόν γε, θεὰ, ἔπος εἰρύσσασθαι**
sc. με “of you two” >ἐρύω, “defend, protect”
(i.e. Hera & Athena) here = “obey”

---

217 **καὶ μάλα περ θυμῷ κεχολωμένον· ὧς γὰρ ἄμεινον.**
what cf. 139 sc. ἔστιν
dative? (also, 9, 78) (& cf. 116)

---

218 **ὅς κε θεοῖς ἐπιπείθηται, μάλα τ’ ἔκλυον αὐτοῦ.”**
cf. 37, 43
gnomic aorist, §184

---

219 **ἦ, καὶ ἐπ’ ἀργυρέῃ κώπῃ σχέθε χεῖρα βαρεῖαν,**
=ἔφη (adj.) “hilt” =ἔσχε cf. 89
“he spoke”

---

220 **ἂψ δ’ ἐς κουλεὸν ὦσε μέγα ξίφος, οὐδ’ ἀπίθησε**
cf. 60 =τὸ κολεόν >ὠθέω ἀ-privative
cf. 194 “push”

---

221 **μύθῳ Ἀθηναίης. ἣ δ’ Οὔλυμπονδὲ βεβήκει**
-δε signals motion from what verb?
towards: cf. -θεν (pl. perf.3.sg.)

---

222 **δώματ’ ἐς αἰγιόχοιο Διὸς μετὰ δαίμονας ἄλλους.**
cf. 18 Note accent! cf. 202 “among”
(cf. “domicile”) (i.e. “to join”)

223 **Πηλεΐδης δ’ ἐξαῦτις <u>ἀταρτηροῖς ἐπέεσσιν</u>**
“again” ἀταρτηρος, η, ον ἔπεσιν
(adv.) “harsh” (77, 150, 211)

---

224 **Ἀτρεΐδην προσέειπε, καὶ οὔ πω λῆγε χόλοιο·**
cf. 105, cf. 210
108

---

225 **“οἰνοβαρές, κυνὸς ὄμματ’ ἔχων, κραδίην δ’ ἐλάφοιο,**
οἶνος + βαρύς κύων, κυνός τὸ ὄμμα, -τος =καρδίη ἡ ἔλαφος
(=οἴνῳ βαρύς) “eye” (cf. cardiac) “deer”

---

226 **οὔτέ ποτ’ ἐς πόλεμον <u>ἅμα λαῷ</u> θωρηχθῆναι**
>θωρήσσω
“arm, equip”

---

227 **οὔτε λόχονδ’ ἰέναι σὺν ἀριστήεσσιν Ἀχαιῶν**
ὁ λόχος, “ambush” >ὁ ἀριστεύς
(for -δε cf. 221) cf. ἄριστος

---

228 **τέτληκας θυμῷ· τὸ δέ τοι κὴρ εἴδεται εἶναι.**
τλάω, “dare” what Not κῆρ! εἴδομαι
(perf.) dative? ἡ κήρ, κηρός, “death” “seem, appear”

---

229 **ἦ πολὺ λώϊόν ἐστι κατὰ στρατὸν εὐρὺν Ἀχαιῶν**
=λῷον,
“better”

---

230 **δῶρ’ ἀποαιρεῖσθαι, ὅς τις σέθεν ἀντίον εἴπῃ,**
=δῶρα sc. “from him” Attic= ὅστις ἄν...
(antecedent of ὅς)

---

231 **δημοβόρος βασιλεὺς, ἐπεὶ οὐτιδανοῖσιν ἀνάσσεις·**
“feeding on οὐτιδανός
his people” “worthless”

---

232 **ἦ γὰρ ἂν, Ἀτρεΐδη, νῦν ὕστατα λωβήσαιο.**
“else” “for the last λωβάομαι, aor.opt.
time” (adv.) “commit insult”

---

233 **ἀλλ’ ἔκ τοι ἐρέω καὶ ἐπὶ μέγαν ὅρκον ὀμοῦμαι·**
cf. 204 “besides” ὁ ὅρκος, cf. 76
(adv.) “oath”

---

234 **ναὶ μὰ τόδε σκῆπτρον, τὸ μὲν οὔ ποτε φύλλα καὶ ὄζους**
rel. τὸ φύλλον, ὁ ὄζος,
pron. “leaf” “branch”

| 235 | **φύσει,** | **ἐπεὶ** | **δὴ** | **πρῶτα** | **τομὴν** | **ἐν** | **ὄρεσσι** | **λέλοιπεν,** |
|---|---|---|---|---|---|---|---|---|
| | φύω grow,<br>cause to grow | | | "once for<br>all" | ἡ τομή<br>"stump" | | =οὔρος<br>cf. 157 | |

| 236 | **οὐδ'** | **ἀναθηλήσει·** | **περὶ** | **γάρ** | **ῥά** | **ἑ** | **χαλκὸς** | **ἔλεψε** |
|---|---|---|---|---|---|---|---|---|
| | | "shall bloom<br>again" (fut.) | | | | "it/him"<br>acc. : §110 | | >λέπω,<br>"peel" |

| 237 | **φύλλα** | **τε** | **καὶ** | **φλοιόν·** | **νῦν** | **αὖτέ** | **μιν** | **υἷες** | **Ἀχαιῶν** |
|---|---|---|---|---|---|---|---|---|---|
| | cf. 224 | | | "bark" | | | | | |

| 238 | **ἐν** | **παλάμαις** | **φορέουσι** | **δικασπόλοι,** | **οἵ** | **τε** | **θέμιστας** |
|---|---|---|---|---|---|---|---|
| | | | | "judge" (nom)<br>take with υἷες | | | ἡ θεμίστη<br>"divine law" |

| 239 | **πρὸς** | **Διὸς** | **εἰρύαται·** | **ὃ** | **δέ** | **τοι** | **μέγας** | **ἔσσεται** | **ὅρκος·** |
|---|---|---|---|---|---|---|---|---|---|
| | πρὸς + gen.<br>= "from" | | = -νται (perf.)<br>cf. 216 | | | | (predicate) | cf. 213 | cf. 233 |

| 240 | **ἦ** | **ποτ'** | **Ἀχιλλῆος** | **ποθὴ** | **ἵξεται** | **υἷας** | **Ἀχαιῶν** |
|---|---|---|---|---|---|---|---|
| | | "one day" | obj. gen.<br>with ποθή | "a longing" | >ἱκνέομαι | | |

| 241 | **σύμπαντας·** | **τότε** | **δ'** | **οὔ** | **τι** | **δυνήσεαι** | **ἀχνύμενός** | **περ** |
|---|---|---|---|---|---|---|---|---|
| | | | | | | >δυναμαι | cf. 103 | |

| 242 | **χραισμεῖν,** | **εὖτ'** | **ἂν** | **πολλοὶ** | **ὑφ'** | **Ἕκτορος** | **ἀνδροφόνοιο** |
|---|---|---|---|---|---|---|---|
| | cf. 28 | =Attic ὅταν | | | | case? | ἀνδροφόνος<br>"man-slaying" |

| 243 | **θνῄσκοντες** | **πίπτωσι·** | **σὺ** | **δ'** | **ἔνδοθι** | **θυμὸν** | **ἀμύξεις** |
|---|---|---|---|---|---|---|---|
| | "being slain" | | | | "within"<br>(adv.) | | ἀμύσσω,<br>"scratch, tear" |

| 244 | **χωόμενος,** | **ὅ** | **τ'** | **ἄριστον** | **Ἀχαιῶν** | **οὐδὲν** | **ἔτισας."** |
|---|---|---|---|---|---|---|---|
| | cf. 44, 46 | ὅ τε<br>"because" | | | | "not at all" | >τίω<br>"honor, value" |